χεῖρες δὲ καὶ ἦτορ ἴσον. φύονται δὲ καὶ νέοις
ἐν ἀνδράσιν πολιαί
θαμάκι παρὰ τὸν ἁλικίας ἐοικότα χρόνον.'

## V

## ΨΑΥΜΙΔΙ ΚΑΜΑΡΙΝΑΙΩΙ ΑΠΗΝΗΙ

Glykoneen, Iamben

Str.

1 – – – ⏑ ⏑ – – ⏑ ⏑ – ⏑ – – ⏑ –
2 – – – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – – ⏑ – ⏑ – –
3 ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – – ⏑ – – ⏑ – ⏑ – –

Ep.

1 – – – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ – ⏑ – –
2 – – – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ –
– ⏑ – – ⏑ – – ⏑ – ⏑ – –

Str. 1

Ὑψηλᾶν ἀρετᾶν καὶ στεφάνων ἄωτον γλυκύν
τῶν Οὐλυμπίᾳ, Ὠκεανοῦ θύγατερ, καρδίᾳ γελανεῖ
ἀκαμαντόποδός τ' ἀπήνας δέκευ Ψαύμιός τε δῶρα·

Ant. 1

ὃς τὰν σὰν πόλιν αὔξων, Καμάρινα, λαοτρόφον,
βωμοὺς ἓξ διδύμους ἐγέραρεν ἑορταῖς θεῶν μεγίσταις
ὑπὸ βουθυσίαις ἀέθλων τε πεμπαμέροις ἁμίλλαις,

Ep. 1

ἵπποις ἡμιόνοις τε μοναμπυκίᾳ τε. τὶν δὲ κῦδος ἁβρόν
νικάσας ἀνέθηκε, καὶ ὃν πατέρ' Ἄ-
κρων' ἐκάρυξε καὶ τὰν νέοικον ἕδραν.

Str. 2

ἵκων δ' Οἰνομάου καὶ Πέλοπος παρ' εὐηράτων
σταθμῶν, ὦ πολιάοχε Παλλάς, ἀείδει μὲν ἄλσος ἁγνόν
τὸ τεὸν ποταμόν τε Ὤανον ἐγχωρίαν τε λίμναν